τὰ δὲ ἐκτὸς προστίθησιν ἀναμωκώμενος Εὐριπίδην, ὡς τοιαῦτα ἐν τοῖς μέλεσιν αὐτοῦ ἐπιτηδεύοντα. πόδα δὲ τὸν ῥυθμὸν ἢ τὸ μέλος ἀπὸ μέρους. Κυρήνης μελοποιῶν.] Κυρήνη ἑταίρα τὶς ἐπίσημος δωδεκαμήχανος ἐπικαλουμένη, διὰ τὸ τοσαῦτα σχήματα ἐν τῇ συνουσίᾳ ποιεῖν. ἔστι δὲ παρὰ τὸ ἐξ Ὑψιπύλης Εὐριπίδου. ἀνὰ τὸ δωδεκαμήχανον ἄντρον. ἐκ δὲ τῆς λέξεως ἀνὰ τὸ δωδεκαμήχανον Κυρήνης, ἤγουν ἀνὰ τὰς ιβ ἐκείνης αἰσχρὰς μηχανάς, δεικνύουσιν αὐτὸν πάνυ φαυλότατον. Ὦ νυκτὸς κελαινοφαής.] φασὶν ὡς πάντα ταῦτα τὰ ἔπη ἔκ τινος δράματός ἐστιν Εὐριπίδου. Ἀσκληπιάδης, παρὰ τὰ ἐξ Ἑκάβης Εὐριπίδου ἐν μιμήσει δηλονότι. οὕτω γὰρ παραγέγραπται ὦ στεροπὰ Διός. ὦ σκοτία νύξ. τί ποτ᾽ αἴρομαι ἔννυχος. πρόσπολον δὲ ὑπηρέτην. ψυχὴν δὲ ὡς φαινόμενον. ἄψυχον δὲ ὡς ἄϋλον καὶ εὐθέως οἰχόμενον. νυκτὸς δὲ παῖδα ἐνταῦθα εἴρηκε, καίτοι ἐν Ἑκάβῃ μελανοπτερύγων ὀνείρων εἰπὼν τὴν γῆν μητέρα. μελανονεκυείμονα δὲ μέλανα καὶ νεκει-

A καὶ ἱμάτια φοροῦντα ὡς θανάτου σημαντικόν. μεγάλους ὄνυχας ἔχοντα ὡς πάνυ τὰς ψυχὰς σπαράττοντα.

BISETUS. Νυκτὸς παῖδα] Τὰ δὲ τοῦ Εὐριπίδου ἐν Ἑκάβῃ οὕτως ἔχει,

Ὦ στεροπὰ Διός, ὦ σκοτία νύξ,
Τί ποτ᾽ αἴρομαι ἔννυχος οὕτω
Δείμασι, φάσμασιν; ὦ πότνια χθὼν
Μελανοπτερύγων μᾶτερ ὀνείρων.

Σχόλια. Ἀλλά μοι ἀμφίπολοι.] Ἀπολλώνιος παρὰ τὰ ἐκ τῶν Εὐμενίδων. Ὄνειρον ἀποκλύσω.] ἀπονίψωμαι. ὅπερ εἰώθασι ποιεῖν ἐν τοῖς ὀνείροις. τοῦτο δὲ μιμεῖται
B ὁ Αἰσχύλος, παρ᾽ οὗ ἀποδιοπομπεῖσθαι εἰώθει τοὺς χαλεπωτάτους τῶν ὀνείρων. ἀπρόσπλοκα δὲ ταῦτα καὶ ἀσυνάρτητα σὺν τοῖς ἑξῆς πᾶσι. τὸ δὲ ὄναρ ὃ εἶδε τοιοῦτον εἶναι δοκεῖ. ὡς γυνή τις ἐκ γειτόνων οὖσα αὐτῇ, Γλύκη καλουμένη, τὸν ἀλεκτρυόνα αὐτῆς ἁρπάσασα ᾤχετο. ἐπικαλεῖται δὲ τὸν Ποσειδῶνα ὡς πλησίον τῆς θαλάσσης ἰδοῦσα τὸν ὄνειρον.

Νύμφαι ὀρεσίγονοι
Ὦ μανία ξύλλαβε.
Ἐγὼ δ᾽ ἁ τάλαινα προσέχουσ᾽ ἔτυχον,
Ἐμαυτῆς ἔργοισιν,
Λίνου μεστὸν ἄτρακτον,
Εἱειειειλίσσουσα χεροῖν,
Κλωστῆρα ποιοῦσ᾽, ὅπως κνεφαῖος
Ἐς τὴν ἀγορὰν φέρουσ᾽ ἀποδοίμαν.
Ὁ δ᾽ ἀνέπτατ᾽ ἀνέπτατ᾽ ἐς αἰθέρα
Κουφοτάταις πτερύγων ἀκμαῖς,
Ἐμοὶ δ᾽ ἄχε᾽ ἄχεα κατέλιπεν.
Δάκρυα δάκρυά τ᾽ ἀπ᾽ ὀμμάτων,
Ἔβαλον ἔβαλον ἁ τλάμων.
Ἀλλ᾽ ὦ Κρῆτες, Ἴδης τέκνα,
Τὰ τόξα λαβόντες, ἐπαμύνατε,
Τὰ κῶλά τ᾽ ἀμπάλλετε κυκλούμενοι
Τὴν οἰκίαν. ἅμα δὲ
Δίκτυννα παῖς Ἄρτεμις
Καλά, τὰς κυνίσκας
Ἔχουσ᾽ ἐλθέτω διὰ δόμων
Πανταχῇ. σὺ δ᾽ ὦ Διὸς
Διπύρους ἀνέχουσα λαμπάδας,
Ὀξυτάταιν χεροῖν Ἑκάτα
Παράφηνον εἰς Γλύκης, ὅπως
Εἰσελθοῦσα φωράσω.
Δι. Παύσασθον ἤδη τῶν μελῶν.
Αἰ. Κἀμοί γ᾽ ἅλις.
Ἐπὶ τὸν σταθμὸν γὰρ ἀγαγεῖν βούλομαι,
Ὅπερ γ᾽ ἐλέγξει ποίησιν νῷν μόνος,

C *Nymphæ montigenæ:*
*O rabies occupa.*
*Ego autem missella propriis operam*
*Mecum impendo rebus:*
*Plenum stamine fusum*
*Eee euoluens manibus.*
*Nectoglomus: clanculúmque vendo*
*Pòst in foro, atris septa tenebris:*
D *At ille volitabat, volitabat ad æthera*
*Remigio alarum leui:*
*Mihi mala, mala reliquit.*
*Lacryma, lacryma de palpebris*
*Cecidit, cecidit infelix.*
*Verùm ô Cretes, Idæ proles,*
*Sumptis iaculis, mala repellite:*
*Et membra concutite: & circumdate*
E *Domum. simul etiam*
*Dictynna virgo, Dea*
*Elegans, catellas*
*Agens, peruagetur domos*
*Vndique. At ô Iouis*
*Duplices faculas manu tenens*
*Perquam agili, triceps Hecate.*
*Ostende te in Glycæ domo:*
*Vt ingressa in furto prehendam.*
F *BA. Plures omittite iam modos.*
*ÆS. Et mihi satis.*
*Nunc ad stateram volo virum hunc deducere.*
*Nam sola hæc vtriusque ostendet Poëticam,*

Σχόλια. Νύμφαι ὀρεσίγονοι.] ἐκ τῶν Ξαντριῶν Εὐριπίδου, φησὶν Ἀσκληπιάδης. εὗρε δὲ Ἀθήνησιν ἔν τινι τῶν διαβέντων. νύμφαι ὀρεσιγόνιαι θεαῖσιν ἀγείρω Ἰνάχου Ἀργείου. ὑπὸ ποταμοῦ παισὶ βιοδώροις. ἔοικε δὲ τὸ ὅλον ἐπιτηδεύειν ἀνυπότακτα. ἄλλως οὐδὲ παρ᾽ Αἰσχύλου ταῦτα ἥρμοζε λαμβάνεσθαι τὸ δὲ μανία ξύλλαβε νῦν λέγεται διὰ τὸν ἄτοπον ὄνειρον εὐχομένη μανίας τυχεῖν, ἵνα μηδενὸς τῶν γεγονότων αἰσθάνοιτο. τὸ δέ, ἐγὼ δ᾽ ἁ τλάμων, πρὸς τὸ φρουρεῖν Γλύκην, ἔχει τὴν ἀκολουθίαν. κνεφαῖος δὲ ἑωθινή. κνέφας γὰρ τὸ λυκόφως. Εἰς ἀγορὰν φέρουσα.] πάλιν ἐπὶ πενίαν καὶ μικροπρέπειαν αὐτὸν κωμῳδεῖ. δηλοῖ δὲ καὶ ὅτι ἐν τοῖς μέλεσι δὶς τὰ τοιαῦτα λέγει Εὐριπίδης, ἀνέπτατ᾽ ἀνεπέπτατο. καὶ τὰ λοιπά. Ἀλλ᾽ ὦ Κρῆτες Ἴδης.] οὐ μόνον ἐν Τροίᾳ ἀλλὰ καὶ ἐν Κρήτῃ, Ἴδη ἐστίν, ὡς καὶ
G ὁ Λυκόφρων φησίν. ἐπεὶ δὲ ἐν Κρήτῃ ἦν ἡ τοῦτο λέγουσα, διὰ τοῦτο λέγει Ἴδης τέκνα τὰ τόξα λαβόντες ἐπαμύνατε. Δίκτυνναν δὲ λέγει τὴν Ἄρτεμιν διὰ ταῦτα. ἐπειδὴ τοῖς κυνηγέταις ἐστὶ τὸ δίκτυα φέρειν. ἔφορος δὲ κυνηγίας ἡ Ἄρτεμις. φασὶ δὲ ὅτι νύμφη τὶς Βριτόμαρτις καλουμένη θηρεύουσα ποτὲ δικτύοις τισὶ κατὰ τύχην ἐνέπεσε. καὶ ὑπὸ Ἀρτέμιδος ῥυσθεῖσα. Δικτύννης Ἀρτέμιδος ἱερὸν ἱδρύσατο. Ἑκάτην δὲ καὶ Ἄρτεμιν οἱ μὲν τὴν αὐτήν φασιν. οἱ δὲ ἄλ-